# ΚΑΘΟΜΟΛΟΓΗΣΙΣ ΠΤΥΧΙΟΥΧΟΥ

Τοῦ πτυχίου......................ἀξιωθείς, ὅρκον ὀμνύω πρὸ τοῦ Πρυτάνεως καὶ τοῦ Κοσμήτορος τῆς......................Σχολῆς καὶ πίστιν καθομολογῶ τήνδε:

Ἀπὸ τοῦ ἱεροῦ περιβόλου τοῦ σεπτοῦ τούτου τεμένους τῶν Μουσῶν ἐξερχόμενος, κατ' ἐπιστήμην βιώσομαι, ἀσκῶν ταύτην δίκην θρησκείας ἐν πνεύματι καὶ ἀληθείᾳ. Οὕτω χρήσιμον ἐμαυτὸν καταστήσω πρὸς ἅπαντας τοὺς δεομένους τῆς ἐμῆς ἀρωγῆς καὶ ἐν πάσῃ ἀνθρώπων κοινωνίᾳ ἀεὶ πρὸς εἰρήνην καὶ χρηστότητα ἠθῶν συντελέσω, βαίνων ἐν εὐθείᾳ τοῦ βίου ὁδῷ, πρὸς τὴν ἀλήθειαν καὶ τὸ δίκαιον ἀποβλέπων καὶ τὸν βίον ἀνυψῶν εἰς τύπον ἀρετῆς ὑπὸ τὴν σκέπην τῆς σοφίας.

Ταύτην τὴν ἐπαγγελίαν ἐπιτελοῦντι, εἴη μοι, σὺν τῇ εὐλογίᾳ τῶν ἐμῶν καθηγητῶν καὶ πεφιλημένων διδασκάλων, ὁ Θεὸς ἐν τῷ βίῳ βοηθός.